Ein lautloser Feind

Der Söldnerzug ist nach Armenien gelangt und scheint vorläufig in Sicherheit zu sein. Die Verfolger sind weit zurückgefallen, und der armenische Befehlshaber Tiribazos verhält sich vorerst nicht unfreundlich. Doch dann erwartet die Griechen eine Gefahr ganz anderer Art.

Ὁ δὲ τόπος οὗτος Ἀρμενία ἐκαλεῖτο ἡ πρὸς ἑσπέραν· ὕπαρχος δ' ἦν αὐτῆς Τιρίβαζος. Οὗτος προπέμψας ἑρμηνέα εἶπεν, ὅτι σπείσασθαι βούλοιτο, ἐφ' ᾧ[1] μήτε αὐτὸς τοὺς Ἕλληνας ἀδικεῖν, μήτε ἐκείνους καίειν τὰς οἰκίας, λαμβάνειν τε τἀπιτήδεια, ὅσων δέοιντο. Ἔδοξε ταῦτα τοῖς στρατηγοῖς, καὶ ἐσπείσαντο ἐπὶ τούτοις.

Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα· καὶ Τιρίβαζος παρηκολούθει ἔχων τὴν ἑαυτοῦ δύναμιν ἀπέχων ὡς δέκα σταδίους· καὶ ἀφίκοντο εἰς βασίλεια καὶ κώμας πέριξ πολλὰς ἐπιτηδείων μεστάς. Στρατοπεδευομένων δ' αὐτῶν γίγνεται τῆς νυκτὸς χιὼν πολλή· καὶ ἔωθεν ἔδοξε διασκηνῆσαι[2] τοὺς στρατηγοὺς κατὰ τὰς κώμας· οὐ γὰρ ἐώρων πολέμιον οὐδένα καὶ ἀσφαλὲς ἐδόκει εἶναι διὰ τὸ πλῆθος τῆς χιόνος. Τῶν δὲ ἀποσκεδαννυμένων τινὲς ἀπὸ τοῦ στρατοπέδου ἔλεγον, ὅτι κατίδοιεν νύκτωρ πολλὰ πυρὰ φαίνοντα. Ἐδόκει δὴ τοῖς στρατηγοῖς οὐκ ἀσφαλὲς εἶναι διασκηνοῦν, ἀλλὰ συναγαγεῖν τὸ στράτευμα πάλιν. Ἐντεῦθεν συνῆλθον· καὶ γὰρ ἐδόκει διαιθριάζειν[3]. Νυκτερευόντων δ' αὐτῶν ἐνταῦθα ἐπιπίπτει χιὼν ἄπλετος, ὥστε ἀπέκρυψε καὶ τὰ ὅπλα καὶ τοὺς ἀνθρώπους κατακειμένους· καὶ τὰ ὑποζύγια συνεπόδισεν ἡ χιών· καὶ πολὺς ὄκνος ἦν ἀνίστασθαι· κατακειμένων γὰρ ἀλεεινὸν[4] ἦν ἡ χιὼν ἐπιπεπτωκυῖα, ὅτῳ[5] μὴ παραρρυείη[6]. Ἐπεὶ δὲ Ξενοφῶν ἐτόλμησε γυμνὸς ἀναστὰς σχίζειν ξύλα, τάχ' ἀναστάς τις καὶ ἄλλος ἐκείνου ἀφελόμενος ἔσχιζεν. Ἐκ δὲ τούτου καὶ ἄλλοι ἀναστάντες πῦρ ἔκαιον καὶ ἐχρίοντο.

---

[1] ἐφ' ᾧ — unter der Bedingung, dass
[2] διασκηνέω... κατὰ τὰς κώμας — auf die Dörfer verteilt Quartier beziehen
[3] διαιθριάζω — aufklaren *(vom Wetter)*
[4] ἀλεεινός — wärmend
[5] ὅτῳ — = ᾧτινι
[6] παραρρέω — seitlich heruntergleiten